Πρωτ. 2014 Ἀθήνησι τῇ 19ῃ Ἰουνίου 1995
Ἀριθμ.
Διεκ. 722

*αταδικάζεται τό ἔθιμον τῆς πυροβασίας (ἀναστεναρίων)*

**ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ**
**---------------------------**

**Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ**

**Πρός τούς Σεβ. Μητροπολίτας τῆς Ἐκκλησίας τῆς Ἑλλάδος.**

Νόμοις ἱεροῖς καί κανόσι ἰθυνόμενα Θεοῦ Χάριτι, τοῦ τό σύμπαν δημιουργήσαντος καί τῇ πανσόφῳ αὐτοῦ προνοίᾳ συντηροῦντος, ἀλλ᾽ οὐχ ἁπλῶς καί ὡς ἔτυχε, τά τῆς χριστιανικῆς ἡμῶν πολιτείας, καί πρός γε τούτων μάλιστα τά τῆς ἱερᾶς καταστάσεως διετάχθησαν ἄνωθεν, ὑπό τῶν θεοκηρύκων ἀποστόλων καί τῶν καθ᾽ ἑξῆς ἁγίων καί θεοφόρων πατέρων καί διδασκάλων τῆς εὐσεβείας, διό καί πειθαρχεῖν ἀνάγκη καί ὑποτάσσεσθαι πάντα εὐσεβῆ καί ὀρθόδοξον, τοῖς ἐν Πνεύματι Θείῳ συντελεσθεῖσιν, ἐν τῷ σεπτῷ τῆς τοῦ Θεοῦ Ἐκκλησίας συστήματι, θείοις νόμοις καί ἱεροῖς κανόσι τοῖς ποδηγετοῦσιν εἰς τήν οὐρανίαν πολιτογραφίαν τούς ὀρθοδόξους, οὐ μήν ἀλλά καί φροντίζειν αὐτῶν ὑπέρ τι ἄλλο ὀφείλομεν, καί ὅλη σπουδῇ καί προθυμίᾳ φυλάττειν, κατά χρέος ἀπαραίτητον, τά παρ᾽ αὐτῶν θεσπιζόμενα˙ ἐπί τούτοις γάρ ἵδρυται καί θεμελιοῦται ἡ πνευματική οἰκοδομή τῆς ἐκκλησιαστικῆς εὐταξίας. Ἀνθ᾽ ὧν τάς παρεκτροπάς τῶν κανονικῶς διατυπωθεισῶν θείων ἀληθειῶν οὐκ ἀνεκτόν ἐάν ἀνελέγκτους τοῖς εὐσεβῶς κεκτημένοις τό φρόνημα, ἅτε μέγα ἐπιφέρον τόν κίνδυνον, ταύτας δέ τάς παρεκτροπάς χρή τόν ἐνόντα τρόπον εἰς τό εὔθετον ἀνακαλεῖν, ἵνα ἡ νενομισμένη τάξις καί κανονική ἀκρίβεια ἀκλόνητος διατηρῆται.

Ἐπειδή τοιγαροῦν, ἀνηνέχθη ἡμῖν παρά τοῦ Σεβασμιωτάτου Μητροπολίτου Λαγκαδᾶ κ. Σπυρίδωνος, αὐτόθι καί ἐνιαχοῦ τῆς Βορείου Ἑλλάδος πρόσωπά τινα πυροβασίας (κοινῶς ἀναστενάρια) ποιεῖν ἐν ὡρισμέναις τοῦ ἐνιαυτοῦ ἡμέραις καί ἑτέρας ἀσχημοσύνας ἐργάζεσθαι κατ᾽ αὐτάς εἰς φθοράν τῆς συνειδήσεως τῶν πιστῶν καί ὑφ᾽ ὕβρει τῶν θείων τῆς Ἐκκλησίας ἀληθειῶν, Συνοδικῇ διαγνώμῃ, γενομένη ἐν τῇ Συνεδρίᾳ τῆς Διαρκοῦς Ἱερᾶς Συνόδου τῆς 13ης ὑπερμεσοῦντος μηνός Ἰουνίου ε.ἔ., ἀποφαινόμενοι, καταδικάζομεν καί αὖθις τάς τοιαύτας παρεκτροπάς ὡς αὐτόχρημα εἰδωλολατρικάς, προβλεπομένας καί κολαζομένας ὑπό τοῦ ΞΕ΄ Κανόνος τῆς ΣΤ΄ Οἰκουμενικῆς Συνόδου, καί συνιστῶμεν ὅπως κατά τήν ὑμετέραν ποιμαντορικήν κρίσιν καί σύνεσιν

ἐνεργήσητε ὅ δεῖ πρός διαφώτισιν τῶν χριστιανῶν, ἵνα ἀπέχωσι τοιούτου ἔθους εἰδωλικοῦ, εἰς ἔλεγχον τῶν παρεκτρεπομένων καί ἐπιβολήν τῶν ὑπό τῶν Ἱερῶν Κανόνων προβλεπομένων ἐπιτιμίων καί εἰς οἰκονομίαν τῶν μετανοούντων καί παρά Κυρίου ἐξαιτουμένων τό θεῖον ἔλεος.

Τούτων ἕνεκα, ὑπομιμνήσκομεν ὑμῖν τήν ἀπό 17ης Ὀκτωβρίου 1968 ὑπ᾽ ἀριθμ. 1568 σχετικήν Συνοδικήν Ἐγκύκλιον καί παρακαλοῦμεν ὅπως, κατά τό παράδειγμα τῶν πρό ὑμῶν γενομένων ἁγίων πατέρων καί ποιμένων τῆς Ἐκκλησίας, περί τῆς προστασίας τῶν τῆς Ἐκκλησίας θεσμίων, μεριμνῆτε, ἀκλόνητον τήν φροντίδα ἔχοντες ὑπέρ τῆς σωτηρίας τοῦ χριστεπωνύμου λαοῦ.

†Ὁ Ἀθηνῶν ΣΕΡΑΦΕΙΜ, Πρόεδρος, † Ὁ Σιδηροκάστρου ΙΩΑΝΝΗΣ, † Ὁ Φλωρίνης, Πρεσπῶν καί Ἑορδαίας ΑΥΓΟΥΣΤΙΝΟΣ, † Ὁ Λαγκαδᾶ ΣΠΥΡΙΔΩΝ, † Ὁ Πολυανῆς καί Κιλκισίου ΑΠΟΣΤΟΛΟΣ, † Ὁ Σισανίου καί Σιατίστης ΑΝΤΩΝΙΟΣ, † Ὁ Φιλίππων, Νεαπόλεως καί Θάσου ΠΡΟΚΟΠΙΟΣ, † Ὁ Καρπενησίου ΝΙΚΟΛΑΟΣ, † Ὁ Κυθήρων ΙΑΚΩΒΟΣ, † Ὁ Μονεμβασίας καί Σπάρτης ΕΥΣΤΑΘΙΟΣ, † Ὁ Ἠλείας ΓΕΡΜΑΝΟΣ, † Ὁ Θηβῶν καί Λεβαδείας ΙΕΡΩΝΥΜΟΣ, † Ὁ Κερκύρας καί Παξῶν ΤΙΜΟΘΕΟΣ.

Ὁ Ἀρχιγραμματεύς
† Ὁ Διαυλείας Δαμασκηνός